αἰεὶ δὲ προπάροιθεν ἑοῦ χροὸς ἠύτε γέρρον
νώμασκεν μακέλην, περὶ δ' ὄμμασιν ἔνθα καὶ ἔνθα
πάπταινεν μὴ δή μιν ἐπιφλέξῃ δήιον πῦρ.
τῷ μὲν ἀοσσῆσαι λελιημένος, ὥς μοι ἔικτο,
'Ιφικλέης μεγάθυμος ἐπ' οὔδεϊ κάππεσ' ὀλισθὼν
πρὶν ἐλθεῖν, οὐδ' ὀρθὸς ἀναστῆναι δύνατ' αὖτις,
ἀλλ' ἀστεμφὲς ἔκειτο, γέρων ὡσείτ' ἀμενηνός
ὅντε καὶ οὐκ ἐθέλοντα βιήσατο γῆρας ἀτερπὲς
καππεσέειν, κεῖται δ' ὅγ' ἐπὶ χθονὸς ἔμπεδον αὔτως
εἰσόκε τις χειρός μιν ἀνειρύσῃ παριόντων
αἰδεσθεὶς ὄπιδα προτέρην πολιοῖο γενείου.
ὣς ἐν γῇ λελίαστο σακεσπάλος 'Ιφικλείης,
αὐτὰρ ἐγὼ κλαίεσκον ἀμηχανέοντας ὁρῶσα
παῖδας ἐμούς, μέχρι δή μοι ἀπέσσυτο νήδυμος ὕπνος
ὀφθαλμῶν ἠὼς δὲ παραυτίκα φαινόλις ἦλθε.
τοῖα, φίλη, μοι ὄνειρα διὰ φρένας ἐπτοίησαν
παννυχίῃ· τὰ δὲ πάντα πρὸς Εὐρυσθῆα τρέποιτο
οἴκου ἀφ' ἡμετέροιο, γένοιτο δὲ μάντις ἐκείνῳ
θυμὸς ἐμός, μηδ' ἄλλο παρὲκ τελέσειέ τι δαίμων.'